UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Synodvs Nicæna II. Generalis. Sub Hadriano papa I. anno DCCLXXXVII.

**Parisiis, 1644**

XIX. Vt sine dationibus admissiones sacrorum virorum, monachorum quoque ac monacharum fiant.

urn:nbn:de:hbz:466:1-15473

Visual Library

## XVIII.

*Quod non oportet feminas habitare in episcopiis, vel virorum monasteriis.*

1. Cor. 10. *Sine offensione estote his etiam qui foris sunt,* diuinus dicit Apostolus. Feminas autem commorari in episcopiis, vel etiam monasteriis, omnis est offensionis materia. Quisquis ergo ancillam vel liberam in episcopio possidere claruerit, vel in monasterio ad opus ministerii alicuius, increpetur: si autem permanserit, deponatur. Porro si contigerit in proastiis feminas esse, & voluerit episcopus vel abbas iter * ad eas facere, præsente episcopo vel abbate nullatenus ministerii opus facere eo tempore mulieri liceat, sed seorsum moretur in alio loco, donec episcopus vel abbas recedat propter irreprehensibilitatem.

* Gr. illuc

## XIX.

*Vt sine dationibus * sponsiones sacrorum virorum, monachorum quoque ac monacharum fiant.*

* admissiones

In tantum inoleuit auaritiæ facinus in rectores ecclesiarum, vt etiam quidam eorum qui dicuntur religiosi viri atque mulieres, obliuiscentes mandatorum Domini, decipiantur, & per aurum * introitus accedentium tam ad sacratum ordinem, quam ad monasticam vitam efficiant. Vnde fit, vt quorum initium improbabile est, omnia sint proiicienda, vt magnus ait Basilius. Neque enim Deo per mammona seruire licet. Si quis ergo inuetus fuerit hoc faciens,

* receptiones

## ιη'.

Ὅτι οὐ δεῖ γυναῖκας ἐνδιαιτᾶσθαι ἐν ἐπισκοπείοις, ἢ ἐν ἀνδρῴοις μοναστηρίοις.

Ἀπρόσκοποι γίνεσθε καὶ τοῖς ἔξωθεν, φησὶν ὁ θεῖος ἀπόστολος. τὸ δὲ γυναῖκας ἐνδιαιτᾶσθαι ἐν ἐπισκοπείοις ἢ καὶ μοναστηρίοις, παντὸς προσκόμματος αἴτιον. εἴ τις οὖν δούλην ἢ ἐλευθέραν ἐν τῷ ἐπισκοπείῳ κτώμενος φωραθείη, ἢ ἐν μοναστηρίῳ πρὸς ἐγχείρησιν διακονίας τινός, ἐπιτιμάσθω· ἐπιμένων δὲ καθαιρείσθω. εἰ δὲ καὶ τύχοι ἐν προαστείοις γυναῖκας εἶναι, καὶ θελήσει ἐπίσκοπος ἢ ἡγούμενος πορείαν ἐν τοῖς ἐκεῖσε ποιήσασθαι, παρόντος ἐπισκόπου ἢ ἡγουμένου μηδόλως ἐγχείρησιν διακονίας ποιείσθω κατ' ἐκεῖνον τὸν καιρὸν γυνή, ἀλλ' ἰδιαζέτω ἐν ἑτέρῳ τόπῳ, ἕως ἂν τὴν ἐπαναχώρησιν ποιήσωνται ὁ ἐπίσκοπος ἢ ὁ ἡγούμενος, διὰ τὸ ἀνεπίληπτον.

## ιθ'.

Περὶ τοῦ ἐκτὸς δόσεων τὰς καταταγὰς τῶν ἱερατικῶν ἀνδρῶν, μοναχῶν τε καὶ μοναστριῶν γίνεσθαι.

Τοσοῦτον κατενεμήθη τῆς φιλαργυρίας τὸ μῦσος εἰς τοὺς ἡγήτορας τῶν ἐκκλησιῶν, ὥστε καί τινας τῶν λεγομένων εὐλαβῶν ἀνδρῶν τε καὶ γυναικῶν ἐπιλαθομένοις τὰς ἐντολὰς τοῦ κυρίου ἐξαπατηθῆναι, καὶ διὰ χρυσίου τὰς εἰσδοχὰς τῶν προσερχομένων τῷ τε ἱερατικῷ τάγματι καὶ τῷ μονήρει βίῳ ποιεῖσθαι. καὶ γίνεται ὧν ἡ ἀρχὴ ἀδόκιμος, καὶ τὸ πᾶν ἀπόβλητον, ὥς φησιν ὁ μέγας Βασίλειος. οὐδὲ γὰρ θεῷ διὰ μαμωνᾶ δουλεύειν ἔξεστιν. εἴ τις οὖν εὑρεθείη τοῦτο ποιῶν,

ANNO CHRISTI 787.

εἰ μὲν ἐπίσκοπος ἢ ἡγούμενος, ἤ τις τοῦ ἱερατικοῦ, ἢ παυσάσθω, ἢ καθαιρείσθω κατὰ τὸν δεύτερον κανόνα τῆς ἐν Καλχηδόνι συνόδου. εἰ δὲ ἡγουμένη, ἐκδιωχθήτω τοῦ μοναστηρίου, καὶ παραδοθήτω ἐν ἑτέρῳ μοναστηρίῳ πρὸς ὑποταγήν. ὡσαύτως καὶ ἡγούμενος μὴ ἔχων χειροτονίαν πρεσβυτέρου. ἐπὶ δὲ τῶν παρὰ γονέων διδομένων δίκην προικῴων τοῖς τέκνοις, ἢ ἰδιοκτήτων αὐτῶν πραγμάτων προσαγομένων, ὁμολογούντων τῶν προσαγόντων ταῦτα εἶναι ἀφιερωμένα τῷ θεῷ, ὡρίσαμεν, κἄν τε μείνῃ, κἄν τε ἐξέλθῃ, μένειν αὐτὰ ἐν τῷ μοναστηρίῳ κατὰ τὴν ὑπόσχεσιν αὐτῶν, εἰ μὴ εἴη αἰτία τοῦ προεστῶτος.

κ'.

Ὅτι οὐ δεῖ ἀπὸ τοῦ παρόντος γίνεσθαι διπλοῦν μοναστήριον· καὶ περὶ τῶν διπλῶν μοναστηρίων.

Ἀπὸ τοῦ παρόντος ὁρίζομεν, μὴ γίνεσθαι διπλοῦν μοναστήριον, ὅτι σκάνδαλον καὶ πρόσκομμα τοῖς πολλοῖς τοῦτο γίνεται. εἰ δέ τινες μετὰ συγγενῶν προαιροῦνται ἀποτάξασθαι, καὶ τῷ μονήρει βίῳ κατακολουθεῖν, τοὺς μὲν ἄνδρας δέον ἀπιέναι εἰς ἀνδρῷον μοναστήριον, καὶ τὰς γυναῖκας εἰσιέναι ἐν γυναικείῳ μοναστηρίῳ· ἐπὶ τούτῳ γὰρ εὐαρεστεῖται θεός. τὰ δὲ ὄντα ἕως τοῦ νῦν διπλᾶ κρατείτωσαν κατὰ τὸν κανόνα τοῦ ἁγίου πατρὸς ἡμῶν Βασιλείου, καὶ κατὰ τὴν διαταγὴν αὐτοῦ οὕτω διατυπούσθωσαν. μὴ διαιτάσθωσαν ἐν ἑνὶ μοναστηρίῳ μοναχοὶ καὶ μονάστριαι· μοιχεία γὰρ μεσολαβεῖ τὴν συνδιαίτησιν. μὴ ἐχέτω παρρησίαν μοναχὸς πρὸς μονάστριαν, ἢ μονάστρια πρὸς μοναχὸν ἰδίᾳ προσομιλεῖν. μὴ κοιταζέσθω μοναχὸς ἐν γυναικείῳ

si quidem episcopus vel abbas extiterit, vel quilibet de sacrato collegio, aut desinat, aut deponatur, iuxta secundam regulam sancti Calchedonensis Concilii. Abbatissa vero eiiciatur de monasterio, & tradatur in alio monasterio ad subiectionem. Similiter & abbas qui non habuerit manus impositionem presbyteri. Porro quæ filiis a parentibus dantur more dotis, vel si qua ex propriis rebus acquisita offeruntur, profitentibus his qui ea offerunt Deo * dicanda, definimus, siue perseuerauerint, siue exierint, manere illa in monasterio secundum repromissionem ipsorum, nisi fuerit culpa prælati.

*Gr. dicata.

XX.

*Quod non oporteat amodo duplex monasterium fieri: & de duplis monasteriis.*

Ex hoc definimus, minime duplex fieri monasterium; quia scandalum id & offendiculum multis efficitur. Si vero aliqui cum cognatis abrenuntiare, & monasticā vitam sectari voluerint, debent quidē viri virorum adire cœnobium, feminæ vero mulierum ingredi monasteriū: in hoc enim placatur Deus. Quæ autem hactenus sunt dupla, teneant secundum regulam sancti patris nostri Basilii, & secundum præceptionem eius ita formentur. Non habitent in vno monasterio monachi & monachæ: adulterium enim intercipit cohabitationem. Non habeat aditum monachus ad monacham, vel monacha ad monachum secreto ad collocutionē. Non cubet monachus in mu-